A Πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.
Ξαν. Ὦ τρισκακοδαίμων, ἄρ' ὁ τράχηλος οὑτοσὶ
Ὅτι θλίβεται μὲν, τὸ δὲ γελοῖον οὐκ ἐρεῖ;
Δι. Εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή;
Ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
Αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ,
B Ἵνα μὴ ταλαιπωροῖτο, μηδ' ἄχθος φέροι;
Ξαν. Οὐ γὰρ φέρω 'γώ; Δι. πῶς φέρεις γὰρ, ὅς γ' ὀχεῖ;
Ξαν. Φέρων γε ταυτί. Δι. τίνα τρόπον; Ξανθ. βαρέως πάνυ.
Δι. Οὔκουν τὸ βάρος τοῦθ' ὃ σὺ φέρεις, οὕνος φέρει;
Ξαν. Οὐ δῆθ', ὅ γ' ἔχω 'γὼ, καὶ φέρω, μὰ τὸν Δί' οὔ.
C Δι. Πῶς γὰρ φέρεις, ὅς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει;
Ξανθ. Οὐκ οἶδ'. ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.
Δι. Σὺ δ' οὖν, ἐπειδὴ τὸν ὄνον οὔ φῄς σ' ὠφελεῖν,
Ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.
Ξαν. Οἴμοι κακοδαίμων. τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν;
D Ἦ τἄν σε κωκύειν ἂν ἐκέλευον μακρά.
Δι. Κατάβα πανοῦργε. καὶ γὰρ ἐγγὺς τῆς θύρας X.
Ἤδη βαδίζων εἰμὶ τῆσδ', οἷ πρῶτά με
Ἔδει τραπέσθαι. παιδίον. παῖ. ἠμί παῖ.

A *Video: plus quam anno senior effectus abeo.*
XA. *O ter miserè miseram ceruicem isthanc meam:*
*Quæ tantum affligitur, & ioci nihil proferet?*
BA. *Non contumelia hæc est, & mollicies mera?*
*Ego, qui Bacchus sum, patre ortus Stamnio,*
B *Pedes ingredior & lassor: atque isthunc veho,*
*Ne defatigetur, neu quid oneris ferat.*
XA. *An non fero onus?* BA. *quomodo feras qui ipse veheris?*
XA. *Fero certè hoc.* BA. *quomodo?* XA. *valde agrè & duriter.*
BA. *An non istud onus, quod tu fers, asinus gerit?*
C XA. *Minimè, vt quod ego fero atque habeo: non per Iouem.*
BA. *Quomodo fers obsecro: qui ferris ab alio?*
XA. *Nescio sanè. Sed hic humerus affligitur.*
BA. *Age, si nihil prodesse tibi dicis asinum,*
*Eum tu humeris impone, & sublatum gere.*
XA. *Heu me miserum, cur non nauali prælio*
*Interfui? certè ego te iam ad fletus herè*
D *Dudum impulissem.* BA. *agedum descende verbero.*
*Nam nunc prope ostium via peruenimus:*
*Quò primùm oportebat gradum conuertere.*
*Heus, heus: puer heus: puer tibi dico, puer.*

Σχόλια. Πλεῖν ἢ 'νιαυτῷ.] παρὰ τὸ Ὁμηρικόν. αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

Bisetvs. Καὶ ἐν Ἡσιόδῳ, ὤμωι γῆρας θῆκε. διὰ τὴν ἀηδίαν οὖν γηράσκω, φησὶν, ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω, καὶ πλεῖν ἢ ἐνιαυτῷ πρεσβύτερος ἀπέρχομαι. τὸ δὲ πλεῖν ἐκ τοῦ πλεῖον κατὰ συγκοπὴν γίνεται, ἢ κατὰ κρᾶσιν Ἀττικὴν, ὥς τινες οἴονται.

Σχόλια. Ἄρ' ὁ τράχηλος οὑτοσί.] ὁ Ξανθίας ἀχθόμενος ἐφ' ᾧ βαστάζει φορτίῳ λέγει. Υἱὸς Σταμνίου] δέον εἰπεῖν υἱὸς Διὸς, υἱὸς Σταμνίου εἶπε παρ' ὑπόνοιαν. ἐπειδὴ ὁ οἶνος ἐν σταμνίῳ βάλλεται. ὁ δὲ Διόνυσος εἰς τὸν οἶνον ἀλληγορεῖται. σταμνία δὲ καὶ στάμνους, τοὺς ἀμφορεῖς τοῦ οἴνου φασίν. ἔπαιξεν οὖν, ἐπεὶ ὁ κέραμος ἐν ἑαυτῷ βαστάζει τὸν οἶνον καὶ φέρει. Τοῦτον δ' ὀχῶ.] ὀχεῖσθαι ποιῶ. ἐπὶ ὄνου γὰρ ἦν καθήμενος. νοεῖται δέ τι καὶ αἰσχρὸν. ἀντὶ τοῦ ἐπιβαίνω αὐτόν.

Bisetvs. Οὕνος] ὁ ὄνος. κρᾶσις Ἀττική.

Σχόλια. Οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω.] ἐπάνω γὰρ τοῦ ὄνου καθεζόμενος ὁ οἰκέτης, ἐβάσταζε τὸ ἀνάφορον.
E τινὲς δὲ εἰς τὸ φέρω δύο σίγματα ποιοῦσιν, ἀφαιροῦντες τοῦ μὰ τὸν Δί' οὔ, τὴν μίαν σίγμην. Πιέζεται.] κατηνέχθη ὅμως καὶ αὐτὸς ἐπὶ τὸ πιέζομαι. Ἐν τῷ μέρει σὺ τὸν ὄνον.] ἀντὶ τοῦ κατά τι μέρος. ἢ ἐν τῷ ἴσῳ μέρει κατὰ τὴν ἀμοιβὴν βάσταζε τὸν ὄνον. Τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν.] πρὸς τοὺς χρόνους. ὅτι τῷ προτέρῳ ἔτει ἐπὶ Ἀντιγένους. ὅτε περὶ Ἀργινούσας ἐνίκων ναυμαχίᾳ οἱ Ἀθηναῖοι συμμαχούντων δούλων. προκακωθέντες ἄλλαις ναυμαχίαις, οὓς ἠλευθέρωσαν. πρὸς τοῦτο οὖν χαριεντιζόμενος λέγει, ὅτι εἴπερ ἐνεναυμαχήκειν κἂν ἀφείμην
F ἐλεύθερος. ὥστε οἰμώζειν ἂν ἔλεγόν σοι. ἡ δὲ Ἀργινοῦσα, πόλις τῆς Αἰολίδος, ἀντικρὺ δὲ Λέσβου κειμένη καὶ Μανίας καλουμένης ἄκρας. Κατάβα πανοῦργε] τὸ χ, ὅτι κατάβα φησί. πρὸς τοὺς ἀξιοῦντας, ὅτι κατάβηθι λέγεται μόνως. τὸ δὲ πανοῦργε, ἡμεῖς μὲν μετριώτερον φαμὲν, Ἀττικοὶ δὲ, ἐπὶ σφοδρᾶς ἀτιμίας.

G

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ δευτέρα.

ΗΡΑΚΛΗΣ, ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ.

## ACTVS I. SCENA secunda.

Hercvles, Bacchvs, Xanthias.